33 [1]Καὶ εἶπεν κύριος πρὸς Μωυσῆν Πορεύου ἀνάβηθι ἐντεῦθεν σὺ
καὶ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου, εἰς τὴν γῆν, ἣν
ὤμοσα τῷ Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ λέγων Τῷ σπέρματι ὑμῶν
2 δώσω αὐτήν. [2]καὶ συναποστελῶ τὸν ἄγγελόν μου πρὸ προσώπου
σου, καὶ ἐκβαλεῖ τὸν Αμορραῖον καὶ Χετταῖον καὶ Φερεζαῖον καὶ
3 Γεργεσαῖον καὶ Ευαῖον καὶ Ιεβουσαῖον. [3]καὶ εἰσάξω σε εἰς γῆν
ῥέουσαν γάλα καὶ μέλι· οὐ γὰρ μὴ συναναβῶ μετὰ σοῦ διὰ τὸ
λαὸν σκληροτράχηλόν σε εἶναι, ἵνα μὴ ἐξαναλώσω σε ἐν τῇ ὁδῷ.
4 [4]καὶ ἀκούσας ὁ λαὸς τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο κατεπένθησαν
5 ἐν πενθικοῖς. [5]καὶ εἶπεν κύριος τοῖς υἱοῖς Ισραηλ Ὑμεῖς λαὸς
σκληροτράχηλος· ὁρᾶτε μὴ πληγὴν ἄλλην ἐπάξω ἐγὼ ἐφ᾽ ὑμᾶς
καὶ ἐξαναλώσω ὑμᾶς· νῦν οὖν ἀφέλεσθε τὰς στολὰς τῶν δοξῶν
6 ὑμῶν καὶ τὸν κόσμον, καὶ δείξω σοι ἃ ποιήσω σοι. [6]καὶ περιεί-
λαντο οἱ υἱοὶ Ισραηλ τὸν κόσμον αὐτῶν καὶ τὴν περιστολὴν ἀπὸ
τοῦ ὄρους τοῦ Χωρηβ.
7 [7]Καὶ λαβὼν Μωυσῆς τὴν σκηνὴν αὐτοῦ ἔπηξεν ἔξω τῆς παρεμ-
βολῆς μακρὰν ἀπὸ τῆς παρεμβολῆς, καὶ ἐκλήθη σκηνὴ μαρτυρίου·
καὶ ἐγένετο πᾶς ὁ ζητῶν κύριον ἐξεπορεύετο εἰς τὴν σκηνὴν ἔξω
8 τῆς παρεμβολῆς. [8]ἡνίκα δ᾽ ἂν εἰσεπορεύετο Μωυσῆς εἰς τὴν σκη-
νὴν ἔξω τῆς παρεμβολῆς, εἱστήκει πᾶς ὁ λαὸς σκοπεύοντες ἕκα-
στος παρὰ τὰς θύρας τῆς σκηνῆς αὐτοῦ καὶ κατενοοῦσαν ἀπι-
9 όντος Μωυσῆ ἕως τοῦ εἰσελθεῖν αὐτὸν εἰς τὴν σκηνήν. [9]ὡς δ᾽
ἂν εἰσῆλθεν Μωυσῆς εἰς τὴν σκηνήν, κατέβαινεν ὁ στῦλος τῆς
νεφέλης καὶ ἵστατο ἐπὶ τὴν θύραν τῆς σκηνῆς, καὶ ἐλάλει Μωυσῇ·
10 [10]καὶ ἑώρα πᾶς ὁ λαὸς τὸν στῦλον τῆς νεφέλης ἑστῶτα ἐπὶ τῆς
θύρας τῆς σκηνῆς, καὶ στάντες πᾶς ὁ λαὸς προσεκύνησαν ἕκα-
11 στος ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ. [11]καὶ ἐλάλησεν κύριος
πρὸς Μωυσῆν ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρὸς τὸν ἑαυ-
τοῦ φίλον. καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν, ὁ δὲ θεράπων Ἰη-
σοῦς υἱὸς Ναυη νέος οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς.
12 [12]Καὶ εἶπεν Μωυσῆς πρὸς κύριον Ἰδοὺ σύ μοι λέγεις Ἀνάγαγε
τὸν λαὸν τοῦτον· σὺ δὲ οὐκ ἐδήλωσάς μοι ὃν συναποστελεῖς μετ᾽
ἐμοῦ· σὺ δέ μοι εἶπας Οἶδά σε παρὰ πάντας, καὶ χάριν ἔχεις παρ᾽
13 ἐμοί. [13]εἰ οὖν εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτόν·
γνωστῶς ἴδω σε, ὅπως ἂν ὦ εὑρηκὼς χάριν ἐναντίον σου, καὶ

33 2 προ προσωπου] προτερον A | εκβαλεις B* | αμορρ.] pr. χαναναιον και τον A | χεττ.] pr. τον A | fin.] + και χαναναιον $B^c$ || 3 εισαξει A | μη $1^0$ > A† || 4 κατεπενθησεν B || 5 επαξω εγω] εγω επαγω A | αφελετε A | των δοξων > B*† || 6 του ult. > A || 7 παρεμβολης $1^0$ ⌒ $2^0$ B* | και εγεν. > A† | εξω ult.] pr. την $B^s$ || 8 εξω τ. παρεμβ. > A | εισελθειν] εισ > A || 9 την θυραν] των -ρων A || 10 της θυρας $1^0$] των -ρων A | fin.] + και κατενοουν απιοντος μωυση A†: ex 8 || 11 λαλησει] -σαι A | τον > A 13 αν > A | εναντιον ult.] ενωπιον A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/196 UNIVERSITÄT LEIPZIG